## <u>*Μνήσθητι Κύριε*</u>
## <u>*τῶν ἐν πικραῖς δουλείαις*</u>

### <u>ΚΕΙΜΕΝΟΝ</u>

Τῶν ἐν βήμασι, καί μετάλλοις, καί ἐξορίαις, καί πικραῖς δουλείαις, καί πάσῃ θλίψει καί ἀνάγκῃ καί περιστάσει ὄντων μνημόνευσον, ὁ Θεός, καί πάντων τῶν δεομένων τῆς μεγάλης σου εὐσπλαγχνίας.

...Σύ γάρ εἶ, Κύριε, ἡ βοήθεια τῶν ἀβοηθήτων, ἡ ἐλπίς τῶν ἀπηλπισμένων, ὁ τῶν χειμαζομένων σωτήρ, ὁ τῶν πλεόντων λιμήν, ὁ τῶν νοσούντων ἰατρός. Αὐτός τοῖς πᾶσι τά πάντα γενοῦ, ὁ εἰδώς ἕκαστον καί τό αἴτημα αὐτοῦ, οἶκον, καί τήν χρείαν αὐτοῦ. Ρῦσαι, Κύριε, τήν πόλιν ταύτην, καί πᾶσαν πόλιν καί χώραν, ἀπό λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων καί ἐμφυλίου πολέμου. Ἀμήν.

(Ἱκετήριος δέησις
ἐν τῇ Λειτουργίᾳ τοῦ Μ. Βασιλείου)



### <u>ΕΡΜΗΝΕΙΑ</u>

Θυμίσου, ὦ Θεέ, αὐτούς πού παρουσιάζονται στά δικαστήρια γιά τήν πίστη τους, ὅσους ἐργάζονται στά καταναγκαστικά ἔργα τῶν μεταλλωρυχείων, τούς ἐξορίστους, ὅσους περνοῦν μέρες πικρᾶς δουλείας . Θυμίσου ὅλους ὅσοι βρίσκονται σέ ὁποιαδήποτε θλίψη καί ἀνάγκη καί δύσκολη περίσταση, καθώς καί ἐκείνους πού ἔχουν ἀνάγκη ἀπό τήν μεγάλη σου εὐσπλαχνία.

...Διότι, Κύριε, Ἐσύ εἶσαι ἡ βοήθεια ὅσων μένουν ἀβοήθητοι ἀπό ἀνθρώπους, ἡ ἐλπίδα τῶν ἀπελπισμένων, ὁ Σωτήρας αὐτῶν πού ἀντιμετωπίζουν βαρυχειμωνιά καί φουρτοῦνες στήν ζωή τους, τό λιμάνι στό ὁποῖο βρίσκουν γαλήνη καί ἀσφάλεια ὅσοι ταξιδεύουν στήν θάλασσα, ὁ ἰατρός τῶν ἀρρώστων.. Ἐσύ γίνε τά πάντα γιά ὅλους. Ἐσύ πού γνωρίζεις καλά τόν καθένα καί ὅ,τι σοῦ ζητάει, πού γνωρίζεις κάθε οἰκογένεια καί τήν κάθε ἀνάγκη της. Γλύτωσε, Κύριε, αὐτήν τήν πόλη καί κάθε πόλη καί χωριό, ἀπό πεῖνα, ἐπιδημία, σεισμό, καταποντισμό, πυρκαϊά, σφαγή, ἐπιδρομή ἐχθρῶν πού ἀνήκουν σέ ἄλλη φυλή, καί ἀπό ἐμφύλιο πόλεμο. ΑΜΗΝ.